11 [11]Οὐ κλέψετε. οὐ ψεύσεσθε. οὐ συκοφαντήσει ἕκαστος τὸν πλη-
12 σίον. [12]καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ καὶ οὐ βεβη-
λώσετε τὸ ὄνομα τοῦ θεοῦ ὑμῶν· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.
13 [13]οὐκ ἀδικήσεις τὸν πλησίον καὶ οὐχ ἁρπάσεις, καὶ οὐ μὴ κοιμη-
14 θήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ παρὰ σοὶ ἕως πρωί. [14]οὐ κακῶς
ἐρεῖς κωφὸν καὶ ἀπέναντι τυφλοῦ οὐ προσθήσεις σκάνδαλον καὶ
φοβηθήσῃ κύριον τὸν θεόν σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.
15 [15]Οὐ ποιήσετε ἄδικον ἐν κρίσει· οὐ λήμψῃ πρόσωπον πτωχοῦ
οὐδὲ θαυμάσεις πρόσωπον δυνάστου, ἐν δικαιοσύνῃ κρινεῖς τὸν
16 πλησίον σου. [16]οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου, οὐκ ἐπισυστήσῃ
17 ἐφ' αἷμα τοῦ πλησίον σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [17]οὐ
μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου, ἐλεγμῷ ἐλέγξεις τὸν
18 πλησίον σου καὶ οὐ λήμψῃ δι' αὐτὸν ἁμαρτίαν. [18]καὶ οὐκ ἐκδικᾶ-
ταί σου ἡ χείρ, καὶ οὐ μηνιεῖς τοῖς υἱοῖς τοῦ λαοῦ σου καὶ ἀγα-
πήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐγώ εἰμι κύριος.
19 [19]Τὸν νόμον μου φυλάξεσθε· τὰ κτήνη σου οὐ κατοχεύσεις ἑτε-
ροζύγῳ καὶ τὸν ἀμπελῶνά σου οὐ κατασπερεῖς διάφορον καὶ ἱμά-
τιον ἐκ δύο ὑφασμένον κίβδηλον οὐκ ἐπιβαλεῖς σεαυτῷ.
20 [20]Καὶ ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς κοίτην σπέρματος καὶ αὐ-
τὴ οἰκέτις διαπεφυλαγμένη ἀνθρώπῳ καὶ αὐτὴ λύτροις οὐ λελύ-
τρωται ἢ ἐλευθερία οὐκ ἐδόθη αὐτῇ, ἐπισκοπὴ ἔσται αὐτοῖς· οὐκ
21 ἀποθανοῦνται, ὅτι οὐκ ἀπηλευθερώθη. [21]καὶ προσάξει τῆς πλημμελείας
αὐτοῦ τῷ κυρίῳ παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου κριὸν
22 πλημμελείας· [22]καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ
τῆς πλημμελείας ἔναντι κυρίου περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτεν,
καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν.
23 [23]Ὅταν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς ὑμῶν δί-
δωσιν ὑμῖν, καὶ καταφυτεύσετε πᾶν ξύλον βρώσιμον καὶ περικα-
θαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ· ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται
24 ὑμῖν ἀπερικάθαρτος, οὐ βρωθήσεται· [24]καὶ τῷ ἔτει τῷ τετάρτῳ
25 ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος αἰνετὸς τῷ κυρίῳ· [25]ἐν δὲ τῷ
ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν, πρόσθεμα ὑμῖν τὰ γενήματα
αὐτοῦ· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.
26 [26]Μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων καὶ οὐκ οἰωνιεῖσθε οὐδὲ ὀρνιθοσκοπή-
27 σεσθε. [27]οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν
28 οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν. [28]καὶ ἐντομίδας ἐπὶ
ψυχῇ οὐ ποιήσετε ἐν τῷ σώματι ὑμῶν καὶ γράμματα στικτὰ οὐ

11 ου $3^0$ B* A†] ουδε $B^c$ || 12 ειμι > A: item in 28 (*O* hab. ειμι in 12 sub ÷, om. ειμι in 28) || 13 αρπασεις] αρπα B† | μισθωτου] μισθιου A† || 14 προθησεις A || 15 ουδε] ου A† || 16 επισυστηση F] συ > BA | αιματι A || 19 φυλαξ.: cf. 3 || 23 υμων > B* | καταφυτευσητε A | αυτου $1^0 \frown 2^0$ A† | απερικαθαρτον A† || 26 ορνιθοσκοπηθησεσθε A || 28 ψυχης A†